# 30 Αὐγούστου (12 Σεπτεμβρίου)

# ΤΗι ΤΕΤΑΡΤΗι ΤΗΣ ΙΕ΄ ΕΒΔΟΜΑΔΟΣ[✠]

## Πρὸς Γαλάτας ᾿Επιστολῆς Παύλου τὸ Ἀνάγνωσμα γ΄ 15-22

᾿Αδελφοί,
κατὰ ἄνθρωπον λέγω·
ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται.

τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι[2] καὶ τῷ σπέρματι αὐτοῦ·[3]

Οὐ λέγει,
**καὶ τοῖς σπέρμασιν**,[4]
ὡς ἐπὶ πολλῶν,
ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός.[5]
**καὶ τῷ σπέρματί σου**,[6]
ὅς ἐστι[7] Χριστός.

Τοῦτο δὲ λέγω·[8]
διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν[9]

---

✠
- ✠ The text given if from the Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ, ἐκ τοῦ Πατριρχικοῦ τυπογραφείου, 1904, while the other texts are used to identify textual and punctuation variations
- ✠ ΘΕΙΟΝ ΚΑΙ ΙΕΡΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, κατὰ τὸ κείμενον τὸ ἐγκεκριμένον ὑπὸ τῆς Μεγάλης τοῦ Χριστοῦ ᾿Εκκλησίας, Ἔκδοσις Γ΄ Ἀποστολικῆς Διακονίας 2003
- ✠ ΑΠΟΣΤΟΛΟΣ, Ἔκδοσις Ε΄ Ἀποστολικῆς Διακονίας 2007
- ✠ Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ, ῾Ελληνικὴ Βιβλικὴ ᾿Εταιρεία, 1967
- ✠ The Greek New Testament according to the Majority text, Zane C. Hodges & Arthur L. Farstad, Second Edition, 1985
- ✠ THE NEW TESTAMENT IN THE ORIGINAL GREEK, Byzantine Textform, Maurise A. Robinson & William G Pierpont 2005
- ✠ www.analogion.gr/glt

| | | |
|---|---|---|
| 2 | R-P | comma |
| 3 | H-F, R-P | period instead of a comma |
| 4 | H-F | within quotation " ", ΑΔ within quotation «» |
| 5 | H-F, R-P, BE1967, ΑΔ | comma instead of a period |
| 6 | H-F, ΑΔ | within quotation «» |
| 7 | R-P | ἐστιν (movable ν) |
| 8 | R-P | comma instead of semicolon |
| 9 | H-F | indicates that *εἰς Χριστὸν* in some is missing |

ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη[10] γεγονὼς νόμος οὐκ ἀκυροῖ,
εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.

εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία,
οὐκέτι[11] ἐξ ἐπαγγελίας·[12]
τῷ δὲ Ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται ὁ Θεός.

Τί οὖν ὁ νόμος;

τῶν παραβάσεων χάριν προσετέθη,[13]
ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται,
διαταγεὶς δι᾽ Ἀγγέλων ἐν χειρὶ μεσίτου.[14]

Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν,[15]
ὁ δὲ Θεὸς εἷς ἐστιν[16].

Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ;

μὴ γένοιτο.[17] [18]

εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι,
ὄντως ἂν ἐκ νόμου ἦν[19] ἡ δικαιοσύνη·[20]
Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ[21] τὰ πάντα ὑπὸ ἁμαρτίαν[22]
ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσι.

---

| | | |
|---|---|---|
| 10 | H-F, R-P, BE1967, ΑΔ | ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα |
| 11 | glt | in separate words οὐκ ἔτι |
| 12 | glt | question mark instead of a semicolon |
| 13 | H-F | without a comma |
| 14 | BE1967 | semicolon instead of a period |
| 15 | glt | semicolon instead of a comma |
| 16 | BE1967 | ἐστίν (with an accent) |
| 17 | H-F | exclamation instead of a period |
| 18 | glt | semicolon instead of a period |
| 19 | H-F | ⸀ ἂν ἐκ νόμου ἦν ⸌ |
| 20 | R-P, glt | period instead of semicolon |
| 21 | H-F | Γραφὴ (with a capital) |
| 22 | R-P | comma instead of no punctuation |

## Ἐκ τοῦ κατὰ Μάρκον Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα στʹ 7 - 13

Τῷ καιρῷ ἐκείνῳ, [23]
προσκαλεῖται ὁ Ἰησοῦς[24] τοὺς δώδεκα[25],[26]
καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο,
καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων,[27]
καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον,[28]
μὴ πήραν,
μὴ ἄρτον, [29]
μὴ εἰς τὴν ζώνην χαλκόν,[30]
ἀλλʼ ὑποδεδεμένους σανδάλια,[31]
καὶ μὴ ἐνδεδύσθαι δύο χιτῶνας.

καὶ ἔλεγεν αὐτοῖς·[32]
[33]Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν,
ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν·[34]
καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς[35] μηδὲ ἀκούσωσιν ὑμῶν,
ἐκπορευόμενοι ἐκεῖθεν[36] ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς·[37]
ἀμὴν λέγω ὑμῖν,
ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως[38] ἢ τῇ πόλει ἐκείνῃ.

Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι[39], [40]
καὶ δαιμόνια πολλὰ ἐξέβαλλον,
καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

---

[23] Addition of the Lectionary, while in the continues text has καὶ that is ommited
[24] The subject ὁ Ἰησοῦς comes from the verse 4 in all Lectionaries
[25] ΑΔ, glt addition of the phrase μαθητὰς αὐτοῦ
[26] H-F not a comma
[27] H-F, R-P period instead of a comma
[28] R-P semicolon instead of a comma
[29] H-F transposition
[30] R-P semicolon instead of a comma
[31] H-F not a comma R-P semicolon instead of a comma
[32] H-F, R-P comma instead of semicolon
[33] H-F within a quotation up to τῇ πόλει ἐκείνῃ.
[34] R-P period instead of a semicolon
[35] R-P comma instead of no punctuation
[36] R-P comma instead of no punctuation
[37] H-F, R-P, BE1967 period instead of a semicolon
[38] R-P, BE1967 comma instead of no punctuation
[39] R-P μετανοήσωσιν (movable ν)
[40] R-P semicolon instead of a comma